*πονηρὸν ὑφορώμενοι· ἐν τοσούτῳ δὲ κλῶπές τινες
ἀνασπάσαντες τὸ κλεῖστρον ἐκφέρουσιν ἅπαντα, ὡς μηδὲ
τὰ ἐς ἐκείνην τὴν ἡμέραν διαρκέσοντα καταλιπεῖν.
ἐπανελθόντες οὖν οἴκαδε καὶ τὸ γεγονὸς μαθόντες, δι-
κάζεσθαι μὲν τοῖς γείτοσι πολλοῖς οὖσιν ἢ τῷ ξένῳ οὐκ
ἐδοκιμάζομεν, δεδιότες μὴ συκοφάνται δόξωμεν τοῖς
πολλοῖς, λέγοντες ὡς ὑφείλετο ἡμῶν τις δαρεικοὺς τετρα-
κοσίους καὶ ἐσθῆτα πολλὴν καὶ δάπιδάς τινας καὶ τὰ ἄλλα*
58 *ὁπόσα εἴχομεν· ἐσκοπούμεθα δὲ περὶ τῶν παρόντων ὅ τι
πράξομεν, ἄποροι παντάπασιν ἐν τῇ ἀλλοδαπῇ γενόμενοι.
κἀμοὶ μὲν ἐδόκει ὡς εἶχον αὐτοῦ παραβύσαντα ἐς τὴν
πλευρὰν τὸν ἀκινάκην ἀπελθεῖν τοῦ βίου, πρὶν ἀγεννές τι
ὑποστῆναι λιμῷ ἢ δίψει πιεσθέντα, ὁ δὲ Σισίννης παρ-
εμυθεῖτο καὶ ἱκέτευε μηδὲν τοιοῦτον ποιεῖν· αὐτὸς γὰρ
ἐπινοήσειν, ὅθεν ἕξομεν ἱκανῶς τὰς τροφάς. καὶ τότε μὲν
ξύλα ἐκ τοῦ λιμένος παρεκόμισε καὶ ἧκεν ἡμῖν ἀπὸ τοῦ
μισθοῦ ἐπισιτισάμενος· ἕωθεν δὲ περιιὼν κατὰ τὴν
ἀγορὰν εἶδε πομπήν τινα, ὡς ἔφη, γενναίων καὶ καλῶν
νεανίσκων· μονομαχεῖν δὲ οὗτοι ἐπὶ μισθῷ ἀνδρολογη-
θέντες ἐς τρίτην ἡμέραν διαγωνιεῖσθαι ἔμελλον. καὶ δὴ
τὸ πᾶν ὡς εἶχεν ἀμφ᾽ αὐτοὺς πυθόμενος, ἐλθὼν ὡς ἐμέ,
„Μηκέτι, ὦ Τόξαρι," ἔφη, „πένητα σεαυτὸν λέγε· ἐς*
59 *γὰρ τρίτην ἡμέραν πλούσιόν σε ἀποφανῶ." ταῦτα εἶπε, καὶ
πονήρως τὸ μεταξὺ ἀποζήσαντες, ἐνστάσης ἤδη τῆς θέας
ἐθεώμεθα καὶ αὐτοί· παραλαβὼν γάρ με ὡς ἐπὶ τερπνόν
τι καὶ παράδοξον θέαμα τῶν Ἑλληνικῶν ἄγει ἐς τὸ
θέατρον. καὶ καθίσαντες ἑωρῶμεν τὸ μὲν πρῶτον θηρία*